Αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
Ἐγρηγορὸς φρούρημα γῆς, καθίσταμαι.
Τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας
Ἔρυμά τι χώρας καὶ πόλεως σωτήριον
Ἔχοιτ᾽ ἂν οἷον οὔτις ἀνθρώπων ἔχει,
Οὔτ᾽ ἐν Σκύθησιν οὔτε Πέλοπος ἐν τόποις.
Ταύτην μὲν ἐξέτειν᾽ ἐμοῖς παραίνεσιν
Ἀστοῖσιν ἐς τὸ λοιπόν. Ὀρθοῦσθαι δὲ χρὴ
Καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην,
Αἰδουμένους τὸν ὅρκον. Εἴρηται λόγος.

ΧΟΡΟΣ.

Καὶ μὴν βαρεῖαν τήνδ᾽ ὁμιλίαν χθονὸς
Ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.

ΑΠΟΛΛΩΝ.

Κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς
Ταρβεῖν κελεύω, μηδ᾽ ἀκαρπώτους κτίσαι.

ΧΟΡΟΣ.

Ἀλλ᾽ αἱματηρὰ πράγματ᾽ οὐ λαχὼν σέβεις,

mune, venerabile, severum, pro dormientibus vigilans praesidium terrae, constituo. Talem igitur maiestatem iure reveriti, salutare terrae urbisque columen habebitis, quale nemo hominum habet neque apud Scythas, neque in Peloponneso. Et haec quidem civibus meis, quae ad futurum tempus spectant, edixi. Surgere vero oportet, et calculos ferre, ac litem diiudicare, iuramentum reverentes. Dixi.

Chorus. Et ego quidem, ne societatem hanc laedatis, suadeo, gravem, si feceritis, huic telluri futuram.

Apollo. Ego vero mea et Iovis oracula timere vos iubeo, neve infructuosa reddere.

Chorus. Tu vero causas sanguineas tractas, tibi haud